παιδὶ δεκετεῖ σχεδὸν ἐνιαυτοὶ τρεῖς, λύρας δὲ ἅψασθαι τρία
μὲν ἔτη καὶ δέκα γεγονόσιν ἄρχεσθαι μέτριος ὁ χρόνος, 810 a
ἐμμεῖναι δὲ ἕτερα τρία. Καὶ μήτε πλείω τούτων μήτ' ἐλάττω
πατρὶ μηδ' αὐτῷ, φιλομαθοῦντι μηδὲ μισοῦντι, περὶ ταῦτα
ἐξέστω μείζω μηδὲ ἐλάττω διατριβὴν ποιεῖσθαι παράνομον.
Ὁ δὲ μὴ πειθόμενος ἄτιμος τῶν παιδείων ἔστω τιμῶν, ἃς
ὀλίγον ὕστερον ῥητέον. Μανθάνειν δὲ ἐν τούτοις τοῖς χρό-
νοις δὴ τί ποτε δεῖ τοὺς νέους καὶ διδάσκειν αὖ τοὺς διδα-
σκάλους, τοῦτο αὐτὸς πρῶτον μάνθανε. Γράμματα μὲν b
τοίνυν χρὴ τὸ μέχρι τοῦ γράψαι τε καὶ ἀναγνῶναι δυνατὸν
εἶναι διαπονεῖν· πρὸς τάχος δὲ ἢ κάλλος ἀπηκριβῶσθαί τισιν,
οἷς μὴ φύσις ἐπέσπευσεν ἐν τοῖς τεταγμένοις ἔτεσιν, χαί-
ρειν ἐᾶν. Πρὸς δὲ δὴ μαθήματα ἄλυρα ποιητῶν κείμενα ἐν
γράμμασι, τοῖς μὲν μετὰ μέτρων, τοῖς δ' ἄνευ ῥυθμῶν
τμημάτων, ἃ δὴ συγγράμματα κατὰ λόγον εἰρημένα μόνον,
τητώμενα ῥυθμοῦ τε καὶ ἁρμονίας, σφαλερὰ γράμμαθ' ἡμῖν c
ἔστιν παρά τινων τῶν πολλῶν τοιούτων ἀνθρώπων καταλε-
λειμμένα· οἷς, ὦ πάντων βέλτιστοι νομοφύλακες, τί
χρήσεσθε; Ἢ τί ποθ' ὑμῖν ὁ νομοθέτης χρῆσθαι προστάξας
ὀρθῶς ἂν τάξειε; Καὶ μάλα ἀπορήσειν αὐτὸν προσδοκῶ.

ΚΛ. Τί ποτε τοῦτο, ὦ ξένε, φαίνῃ πρὸς σαυτὸν ὄντως
ἠπορηκὼς λέγειν;

ΑΘ. Ὀρθῶς ὑπέλαβες, ὦ Κλεινία. Πρὸς δὲ δὴ κοινωνοὺς
ὑμᾶς ὄντας περὶ νόμων ἀνάγκη τό τε φαινόμενον εὔπορον
καὶ τὸ μὴ φράζειν.

ΚΛ. Τί οὖν; τί περὶ τούτων νῦν καὶ ποῖόν τι πεπονθὼς d
λέγεις;

ΑΘ. Ἐρῶ δή· στόμασι γὰρ πολλάκις μυρίοις ἐναντία
λέγειν οὐδαμῶς εὔπορον.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416228046/43 UNIVERSITÄT LEIPZIG